Vnde fit, vt ſi quem alium ventum occupauerit, augeat, eo ſcilicet, quòd nonnihil adiunxerit. 24 Cur afflante Fauonio canes veſtigia minus valeant comperire? An quia plurimum hic ventus cõfundit, quoniam ventorũ omnium continentiſſimus eſt, maximéque terram attingit. 25 Quam ob cauſam cùm ſtellę proſiliunt, venti indicium datur? An propterea, quòd à flatu feruntur, priúſque ibi, quàm apud nos, flatus excurrit. Quo fit etiam, vt vnde ſtellæ feruntur, huc flatus accedat. 26 Cur nubes maximas Fauonius agit? An quia de alto ſpirat, regionéque maritima nubes per ampla ſpatia colligit ampliores. 27 Cur venti ad poſtremum vehementiſſimè ſpirant? An quia vbi vniuerſi efflarunt, caloris parum relinquitur. 28 Cur ſi circa æquinoctium Africus ſpirauit, aqua fiat neceſſe ſit? An quo loco orbis Sol fuerit, inde ſoleat ſpiritus excitari: itaque pro Solis diſcurſu viciſſitudo ſpirituũ agat. Quod cùm æquinoctium hyemis, atque æſtatis confinium ſit, dum Sol nobis conſpectum æquinoctium agit, aut iuſtum tranſgreſſus limitem regioni ſe dedit hybernæ, accidit, vt venti partis illius vernaculi ſpirent, quorum primus Africus eſt natura humidus: & cùm Sol partem orbis terrarum hybernam perluſtrat, flatúſque regionis eiuſdem mouet, euenit vt hyems ſuis fungatur muneribus: cuius generis imber eſt. Adhæc, cùm æquinoctium, tanquam paribus examinatis viribus hyemis, atque æſtatis, conſtet, ſi alterutris quicquam additum ſit, obitus momentum exultabit conſpicuum, vt in æquilibrio pondus lanci adiunctum alteri efficit. Quòd cùm Africus hyberni ordinis ſit, naturáque humidus, æquinoctio additus, hyemem, imbrémque meritò affert: imber enim hyems eſt flatibus familiariſſima.

29 Cur Auſter, atque Eurus, cùm flatibus ſibi obiectis calidiores ſint, alter Aquilone, alter Fauonio, aquæ fertiliores ſint: quanquam frigor eſt, qui humorem ex aëre depromat: haud enim quòd Aquilo nubes hinc pellit, idcirco aqua non prouenit. Nam & Fauonius, & Eurus nubes abigit, quippe qui ex altero pari modo proueniat. quinetiam cæteri omnes vnde ſpirant, inde depellunt. Vtrum quia frigor amplius introrſum circumobſiſtit, cùm calor extrorſum amplius vrget. An etiam regio facit vnde ſpirant, vt ſereni, illuſtréſque veniant. Eurus nanque ex ortu,

A διὰ τοῦτο κἂν καταλάβῃ ἄλλον ἄνεμον, μεί-
ζων γίνεται αὐξανομένου, ὅτι προσετέθη.
κγ Διὰ τί οἱ κύνες τὰ ἴχνη ἥκιστα εὑρί-
σκουσι ζεφύρου πνέοντος; ἢ διότι μάλιστα
συγχεῖ, διὰ τὸ συνεχέστατος εἶναι τῶν ἀνέμων,
καὶ μάλιστα ὑπὸ τὴν γῆν πνεῖν; κδ Διὰ τί
ὅταν ἀστέρες διάπτωσιν, ἀνέμου σημεῖον; ἢ ὅ-
τι ὑπὸ τοῦ πνεύματος φέρονται, καὶ πρότερον
B ἐκεῖ γίνεται πνεῦμα, ἢ παρ' ἡμῖν; διὸ καὶ ἀφ'
οὗ ἂν τόπου φέρωνται οἱ ἀστέρες, ἐν τούτῳ καὶ
τὸ πνεῦμα γίνεται. κε Διὰ τί μεγίστας νεφέ-
λας τῶν ἀνέμων ὁ ζέφυρος ἄγει; ἢ διότι ἐκ πε-
λάγους πνεῖ, καὶ κατὰ τὴν θάλατταν; ἐκ πολλοῦ
οὖν καὶ συνάγει. κς Διὰ τί οἱ ἐπὶ τέλει ἄνε-
μοι μέγιστοι; ἢ ὅτι ὅταν ἀθρόοι ἐκπνεύσωσιν,
ὀλίγον τὸ θερμόν; κζ Διὰ τί ἐὰν περὶ ἰσημε-
C ρίαν λὶψ πνεύσῃ, ὕδωρ γίνεται; ἢ ὅτι καθ' ὃν
[ἂν ᾖ] ὁ ἥλιος τόπου τοῦ κόσμου, τὰ ἐντεῦθεν
πνεύματα κινεῖ; διὸ καὶ ἡ τῶν πνευμάτων πε-
ρίστασις κατὰ τὴν τοῦ ἡλίου φορὰν γίνεται. ἐ-
πεὶ δὴ ἡ ἰσημερία μεθόριόν ἐστι χειμῶνος καὶ
θέρους, ὅταν συμβῇ τὸν ἥλιον κατὰ τὴν ἡμῖν
φαινομένην ἰσημερίαν ὑπερβεβηκέναι, ἢ ἐκ-
λείπειν τοῦ ἀκριβοῦς ὅρου, καὶ εἶναι μᾶλλον ἐν
D τοῖς χειμερίοις, συμβαίνει τὸ ἐκ τούτου τοῦ
μέρους ἀνέμους πνεῖν, ὧν ἐστι πρῶτος λίψ, ὢν
ὑγρὸς φύσει. ὄντος δὲ τοῦ ἡλίου μᾶλλον ἐν τῷ
χειμερίῳ μέρει τοῦ κόσμου, καὶ κινοῦντος τὰ ἐν
αὐτῷ πνεύματα, τὰ χειμῶνος ἔργα συμβαίνει
γίνεσθαι. τούτων δέ ἐστιν ὁ ὄμβρος. ἔτι δὲ ἐπει-
δὴ ἡ ἰσημερία ἐστὶ καθάπερ χειμὼν καὶ θέρος
ἰσοκρατής· ἐὰν [οὖν] ὁποτερῳοῦν αὐτῶν προ-
στεθῇ τι, εὔσημον τὴν ῥοπὴν ποιεῖ, καθάπερ
E ἐπὶ τῶν ἰσαζόντων ζυγῶν. ἐπεὶ δὲ ὁ λίψ, ἐκ τε
τῆς χειμερίου τάξεώς ἐστι, καὶ ὑγρὸς φύσει, προ-
στεθεὶς ἐν τῇ ἰσημερίᾳ, ῥοπὴν χειμῶνος ἐποίη-
σε καὶ ὄμβρον. ὁ γὰρ ὄμβρος, χειμών ἐστιν οἰκειό-
τατος τῷ [πνεύσαντι] πνεύματι. κη Διὰ τί ὁ
νότος καὶ ὁ εὖρος, θερμότεροι ὄντες τῶν ἐναν-
τίων, ὁ μὲν, τοῦ βορέου, ὁ δὲ, τοῦ ζεφύρου, ὑδα-
τωδέστεροί εἰσι; καίτοι διὰ ψυχρότητα ὕδωρ
ἐξ ἀέρος γίνεται. οὐ γὰρ διὰ τὸ ἀπωθεῖν τὸν
F βορέαν, ἐντεῦθεν γίνεται τὰ νέφη· ὁ γὰρ ζέ-
φυρος, καὶ ὁ εὖρος, ἀπάγουσιν ἄμφω· (ὁ-
μοίως γὰρ πλάγιοι) καὶ οἱ ἄλλοι δὲ πάντες,
ὅθεν πνέουσι. πότερον ὅτι ἀντιπεριΐσταται
τὸ ψυχρὸν εἴσω μᾶλλον, ὅταν ἡ ἔξω τὸ θερ-
μὸν μᾶλλον; ἢ ἔστι μέν τι καὶ διὰ τὸ ὅθεν πνέουσιν, αἰθρίους εἶναι; καὶ γὰρ εὖρος, ἀπ' ἠοῦς ἐστιν·

ἤδη